**40.** ‘*Τίς Εὔνοστος ἥρως ἐν Τανάγρᾳ καὶ διὰ τίνα
αἰτίαν τὸ ἄλσος αὐτοῦ γυναιξὶν ἀνέμβατόν ἐστιν;*’ Ἐλιέως
τοῦ Κηφισοῦ καὶ Σκιάδος Εὔνοστος ἦν υἱός, ᾧ φασιν
ὑπὸ νύμφης Εὐνόστας ἐκτραφέντι τοῦτο γενέσθαι τοὔ-
νομα. καλὸς δ᾽ ὢν καὶ δίκαιος οὐχ ἧττον ἦν σώφρων καὶ
αὐστηρός· ἐρασθῆναι δ᾽ αὐτοῦ λέγουσιν Ὄχναν, μίαν
τῶν Κολωνοῦ θυγατέρων, ἀνεψιὰν οὖσαν. ἐπεὶ δὲ πει- E
ρῶσαν ὁ Εὔνοστος ἀπετρέψατο καὶ λοιδορήσας ἀπῆλθεν
εἰς τοὺς ἀδελφοὺς κατηγορήσων, ἔφθασεν ἡ παρθένος
τοῦτο πράξασα κατ᾽ ἐκείνου καὶ παρώξυνε τοὺς ἀδελφοὺς
Ἔχεμον καὶ Λέοντα καὶ Βουκόλον ἀποκτεῖναι τὸν Εὔνο-
στον, ὡς πρὸς βίαν αὐτῇ συγγεγενημένον. ἐκεῖνοι μὲν
οὖν ἐνεδρεύσαντες ἀπέκτειναν τὸν νεανίσκον. ὁ δ᾽ Ἐλιεὺς
ἐκείνους ἔδησεν· ἡ δ᾽ Ὄχνη μεταμελομένη καὶ γέμουσα F
ταραχῆς, ἅμα μὲν αὑτὴν ἀπαλλάξαι θέλουσα τῆς διὰ
τὸν ἔρωτα λύπης, ἅμα δ᾽ οἰκτείρουσα τοὺς ἀδελφοὺς ἐξ-
ήγγειλε πρὸς τὸν Ἐλιέα πᾶσαν τὴν ἀλήθειαν, ἐκεῖνος
δὲ Κολωνῷ. Κολωνοῦ δὲ δικάσαντος οἱ μὲν ἀδελφοὶ τῆς
Ὄχνης ἔφυγον, αὐτὴ δὲ κατεκρήμνισεν ἑαυτήν, ὡς Μυρ-
τὶς (PLG III p. 542) ἡ Ἀνθηδονία ποιήτρια μελῶν ἱστό-
ρηκε. τοῦ δ᾽ Εὐνόστου τὸ ἡρῷον καὶ τὸ ἄλσος οὕτως
ἀνέμβατον ἐτηρεῖτο καὶ ἀπροσπέλαστον γυναιξίν, ὥστε
πολλάκις σεισμῶν ἢ αὐχμῶν ἢ διοσημιῶν ἄλλων γενο-
μένων ἀναζητεῖν καὶ πολυπραγμονεῖν ἐπιμελῶς τοὺς
Ταναγραίους, μὴ λέληθε γυνὴ τῷ τόπῳ πλησιάσασα, | καὶ 301
λέγειν ἐνίους, ὧν ὁ Κλείδαμος ἦν, ἀνὴρ ἐπιφανής, ἀπ-
ηντηκέναι αὐτοῖς τὸν Εὔνοστον ἐπὶ θάλατταν βαδίζοντα
λουσόμενον, ὡς γυναικὸς ἐμβεβηκυίας εἰς τὸ τέμενος.
ἀναφέρει δὲ καὶ Διοκλῆς (FHG III p. 78) ἐν τῷ περὶ
ἡρῴων συντάγματι δόγμα Ταναγραίων, περὶ ὧν ὁ Κλεί-
δαμος ἀπήγγειλεν.